## ΜΕΜΨΙΜΟΙΡΙΑΣ

*Ἔστιν ἡ μεμψιμοιρία ἐπιτίμησις παρὰ τὸ προσῆκον δεδομένων, ὁ δὲ μεμψίμοιρος τοιόσδε τις, οἷος ἀποστείλαντος μερίδα τοῦ φίλου εἰπεῖν πρὸς τὸν φέροντα· 'ἐφθόνησέ μοι τοῦ ζωμοῦ καὶ τοῦ οἰναρίου οὐκ ἐπὶ δεῖπνον καλέσας'. καὶ ὑπὸ τῆς ἑταίρας καταφιλούμενος εἰπεῖν· 'θαυμάζω, εἰ σὺ καὶ ἀπὸ τῆς ψυχῆς οὕτω με φιλεῖς'. καὶ τῷ Διὶ ἀγανακτεῖν, οὐ διότι ὕει, ἀλλὰ διότι ὕστερον. καὶ εὑρὼν ἐν τῇ ὁδῷ βαλλάντιον εἰπεῖν· 'ἀλλ' οὐ θησαυρὸν εὕρηκα οὐδέποτε'. καὶ πριάμενος ἀνδράποδον ἄξιον καὶ πολλὰ δεηθεὶς τοῦ πωλοῦντος· 'θαυμάζω' εἰπεῖν 'ὅ τι ὑγιὲς οὕτω ἄξιον ἐώνημαι'. καὶ πρὸς τὸν εὐαγγελιζόμενον ὅτι 'υἱός σοι γέγονεν' εἰπεῖν ὅτι 'ἂν προσθῇς· „καὶ τῆς οὐσίας τὸ ἥμισυ ἄπεστιν" ἀληθῆ ἐρεῖς'. καὶ δίκην νικήσας καὶ λαβὼν πάσας τὰς ψήφους ἐγκαλεῖν τῷ γράψαντι τὸν λόγον ὡς πολλὰ παραλελοιπότι τῶν δικαίων· καὶ ἐράνου εἰσενεχθέντος παρὰ τῶν φίλων καὶ φήσαντός τινος· 'ἱλαρὸς ἴσθι', 'καὶ πῶς'; εἰπεῖν, 'ὅτι δεῖ τἀργύριον ἀποδοῦναι ἑκάστῳ καὶ χωρὶς τούτων χάριν ὀφείλειν ὡς εὐεργετημένον;'* K (IZ)

## ΑΥΘΑΔΕΙΑΣ

*Ἡ δὲ αὐθάδειά ἐστιν ἀπήνεια ὁμιλίας ἐν λόγοις, ὁ δὲ αὐθάδης τοιοῦτός τις, οἷος ἐρωτηθείς· 'ὁ δεῖνα ποῦ ἐστιν'; εἰπεῖν· 'πράγματά μοι μὴ πάρεχε'· καὶ προσαγορευθεὶς μὴ ἀντιπροσειπεῖν. ⟨καὶ⟩ πωλῶν τι μὴ λέγειν τοῖς ὠνουμένοις, πόσον ἂν ἀποδοῖτο, ἀλλ' ἐρωτᾶν, τί εὑρίσκει. καὶ*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416470955/30 UNIVERSITÄT LEIPZIG